www.tezaurliturgic.ro

## 2.
# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΥΘΥΜΙΟΥ ΤΟΥ ΝΕΟΥ

Ὀκτωβρίου ιε'.
Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ νέου, τοῦ ἐξ Ἀγκύρας.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.

**Ἦχος δ'.** *Ὡς γενναῖον ἐν μάρτυσιν.*

*Ὡς ἀστὴρ φαεινότατος· ἐξ Ἀγκύρας ἀνέτειλας· ταῖς ἀκτῖσι, ὅσιε, τῶν ἀγώνων σου· καταλαμπρύνων ἑκάστοτε· ἡμῶν τὴν διάνοιαν· καὶ τὸ σκότος τῶν παθῶν· ἀπελαύνων, Εὐθύμιε,· θείῳ πνεύματι·· διὰ τοῦτο τὴν μνήμην σου τὴν θείαν· ἑορτάζοντες ὑμνοῦμεν· τὸν σὲ λαμπρῶς θαυμαστώσαντα.*

*Ὡς ἐτρώθης τῷ ἔρωτι· τοῦ Σωτῆρος, Εὐθύμιε,· τὴν τοῦ κόσμου ἔλιπες ματαιότητα·[40] καὶ προσηκόντων ἐμάκρυνας· τελείως τῆς σχέσεως· οὐρανίῳ λογισμῷ· πολιτείαν ἰσάγγελον προελόμενος· ἣν ὁσίως ἀνύσας ἠξιώθης· τῆς ἀλήκτου βασιλείας· διὰ παντὸς εὐφραινόμενος.*

---

[40] *Ρωμ.* 8, 20· *Ἐφ.* 4, 17. Πρβλ. *2 Πέ.* 2, 18.

www.tezaurliturgic.ro

*Ἐν Ὀλύμπῳ τὸ πρότερον· Βιθυνίας ἐξήσκησας· τὸν ζυγὸν ἀράμενος τοῦ Κυρίου σου·*[41] *καὶ ἐν τῷ Ἄθῳ, Εὐθύμιε,· καὶ ἄλλοις ἐν μέρεσι· ἠγωνίσω ἀνδρικῶς· καὶ τὸν νοῦν κατελάμπρυνας· θείῳ πνεύματι· καὶ τὴν πόλιν τῶν Θεσσαλονικέων· ἁγιάζεις καταθέσει· τοῦ πανιέρου λειψάνου σου.*

*Τῶν παθῶν τὰ σκιρτήματα· ἐγκρατείᾳ ἐνέκρωσας· πρὸς ζωήν, Εὐθύμιε, ἐπειγόμενος· τὴν ὑπερκόσμιον, ὅσιε,· καὶ τύπος γενόμενος· φοιτητῶν σου τῶν σεπτῶν· διὰ λόγου καὶ πράξεως· ἐξεπαίδευσας· τούτους, πάτερ, ἐφίεσθαι τῶν ἄνω· ἔνθα πέλει ἡμῶν πάντων· ὡς ἀληθῶς τὸ πολίτευμα.*[42]

**Δόξα. Ἦχος β'.**

*Ἀσκητικὴν ὑπελθὼν πολιτείαν· ἀγγελικῶν ἠξιώθης δωρεῶν,· ὅσιε πάτερ Εὐθύμιε·· πᾶν γεηρὸν γὰρ ἀπορρίψας ἄχθος· πρὸς ἀρετῶν τὰς ἀναβάσεις ἀνελήλυθας· καὶ τῷ Θεῷ συνεκράθης· ὡς καθαρθεὶς τὴν καρδίαν.· Αὐτὸν ἱκέτευε δεόμεθα· δοῦναι ἡμῖν πταισμάτων λύσιν· καὶ τῆς θείας τυχεῖν μακαριότητος.*

**Καὶ νῦν. Θεοτοκίον.**

**Ἀπόστιχα.**

**Ἦχος β'. *Οἶκος τοῦ Εὐφραθᾶ.***

*Οἶκος τοῦ παντουργοῦ· Πνεύματος ἀνεδείχθης·*[43] *ἀμέμπτῳ πολιτείᾳ,· Εὐθύμιε παμμάκαρ,· ὁσίων ἐγκαλλώπισμα.*

*Πόνοις ἀσκητικοῖς· νεκρώσας σου τὴν σάρκα·*[44] *ζωῆς τῆς αἰωνίου· ἐδέξω ἐν καρδίᾳ· τὰς χάριτας, Εὐθύμιε.*

*Ἤσχυνας τοῦ ἐχθροῦ,· Εὐθύμιε, τὸ θράσος· καὶ χάριν ἐκομίσω· παρὰ Θεοῦ ἰάσεις· ἐπιτελεῖν ἑκάστοτε.*

---

[41] *Μτ.* 11, 29.

[42] *Φιλιπ.* 3, 20.

[43] *I Κορ.* 3, 16 καί 17· 6, 19. Πρβλ. *Ρωμ.* 8, 11.

[44] Πρβλ. *Ρωμ.* 7, 4· *Φιλιπ.* 3, 11· *Κολ.* 2, 12.

www.tezaurliturgic.ro

**Δόξα. Τριαδικόν.**

*Βίῳ ἀγγελικῷ· τὴν μίαν θεαρχίαν,· Πατέρα, Λόγον, Πνεῦμα,· Εὐθύμιε, δοξάζων· δόξης ἀρρήτου ἔτυχες.*

**Καὶ νῦν. Θεοτοκίον.**

*Σκέπη χριστιανῶν· ὑπάρχεις, Θεοτόκε,· καὶ πύλη σωτηρίας· τεκοῦσα τὸν Σωτῆρα·· διὸ σὲ μεγαλύνομεν.*

**Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ ἀπολυτίκιον ἐκ τοῦ μεγάλου ἑσπερινοῦ καὶ ἀπόλυσις.**

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν προοιμιακόν, τὸ *Μακάριος ἀνήρ*. Εἰς δὲ τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν στίχους στ' καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.**

**Ἦχος α'. *Πανεύφημοι μάρτυρες.***

*Πάτερ Εὐθύμιε, Θεὸν· ἐκ ψυχῆς ἠγάπησας· καὶ κοσμικὴν ματαιότητα· ἐμφρόνως ἔλιπες·· ὅθεν τῷ Σωτῆρι· χαίρων ἠκολούθησας· ἀσκήσεως ἀγῶσιν ὡς ἄσαρκος·· ὃν καθικέτευε· δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν· τὴν εἰρήνην· καὶ τὸ μέγα ἔλεος.*

*Πάτερ Εὐθύμιε, σαυτὸν· ἐγκρατείας σκάμμασιν· ἐν τῷ Ὀλύμπῳ ὑπέταξας· νοὸς στερρότητι· τῷ τῆς Βιθυνίας· καὶ ἐν Ἄθῳ ἔλαμψας· ὡς ἄστρον φαεινὸν τῇ ἀσκήσει σου· Θεσσαλονίκην δὲ· φωταυγεῖς ἐνθέοις πράξεσι·· διὰ τοῦτο· πάντες σε γεραίρομεν.*

*Πάτερ Εὐθύμιε, ὀμφὴν· ἄνωθεν δεξάμενος· παρὰ Θεοῦ παντοκράτορος· μονὴν περίβλεπτον· τῷ Χριστοῦ ἐγείρεις· ἀποστόλῳ, ὅσιε,· Ἀνδρέᾳ ὡς ψυχῶν φροντιστήριον· καὶ ὅρμον ἄκλυστον· ἧς ὡράθης θείων πράξεων· ὑποφήτης· καὶ κανὼν εὐθύτατος.*

www.tezaurliturgic.ro

**Προσόμοια ἕτερα. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

*Κόσμον ἀπωσάμενος· καὶ προσηκόντων τὴν σχέσιν·[45] ὡς τὸ πῦρ δεξάμενος· τῇ καρδίᾳ, ὅσιε, τὸ οὐράνιον· τὴν στενὴν ὤδευσας· ἐγκρατείας τρίβον·[46] τῇ ἀσκήσει πλατυνόμενος· πρὸς εὐαρέστησιν· τοῦ παμβασιλέως, Εὐθύμιε·· ἐντεῦθεν ἀπενέκρωσας· ἅπαν γεηρόν, πάτερ, φρόνημα· καὶ τῆς ἀπαθείας· τὴν χάριν εἰληφὼς παρὰ Θεοῦ· παθῶν παντοίων τὸν καύσωνα· παύεις ταῖς πρεσβείαις σου.*

*Ἔλαμψας ἐν Ἄθωνι· ἀγγελικῇ πολιτείᾳ· καὶ παθῶν διέλυσας,· ὅσιε Εὐθύμιε, τὴν σκοτόμαιναν·· μοναστῶν ὤφθης γὰρ· τύπος ἐν ἀσκήσει· καὶ ἀστὴρ φωτοειδέστατος· πρὸς βίον κρείττονα,· πάτερ, ὁδηγῶν τοὺς θεόφρονας·· καὶ ἐν Θεσσαλονίκῃ δὲ· λόγοις διαλάμπεις καὶ θαύμασιν· ἥτις σου τὸ σῶμα· ἐδέξατο ὡς θεῖον θησαυρόν· καὶ ἑορτάζει ἐν ᾄσμασι· τὴν φωσφόρον μνήμην σου.*

*Θείως ὁδηγούμενος· Περιστερῶν ἐν τῷ τόπῳ,· ὅσιε Εὐθύμιε,· ὡς ἁγίου Πνεύματος ἐνδιαίτημα· ἱερὸν τέμενος· καὶ μονὴν ἁγίαν· ἀνεγείρεις θείῳ νεύματι· τῷ τοῦ Θεοῦ ἡμῶν· θείῳ ἀποστόλῳ, πανόλβιε,· Ἀνδρέᾳ τῷ τρισμάκαρι· ἔνθα μοναστῶν θεῖον ὅμιλον· ἤθροισας, θεόφρον,· καὶ τούτους καθωδήγησας σοφῶς· πρὸς σωτηρίαν αἰώνιον· τῇ διδασκαλίᾳ σου.*

**Δόξα. Ἦχος πλ. β΄.**

*Τῆς ἀγάπης τοῦ Χριστοῦ· τὴν ἐνέργειαν δεξάμενος· τῶν τοῦ κόσμου τερπνῶν ἀπανέστης,· θεοφόρε Εὐθύμιε·· καὶ πρὸς ἀσκητικοὺς ἀγῶνας χωρήσας· ἔξω κόσμου καὶ σαρκὸς ἐγένου· καὶ θεϊκῶν ἠξιώθης δωρεῶν· τῶν ὑλικῶν ἐμφάσεων· ἀποκαθάρας τὸν νοῦν·· τύπος γὰρ ὤφθης μοναστῶν,· ἐγκρατείας ὑπόδειγμα· καὶ ἐναρέτου ζωῆς στήλη ἔμψυχος.· Καὶ νῦν Χριστῷ παρεστὼς· καὶ τῶν καμάτων τὰ γέρα δεχόμενος· πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

**Καὶ νῦν. Θεοτοκίον.**

**Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.**

**Εἰς τὴν λιτήν, ἰδιόμελα.**

---

[45] *1 Ἰω.* 2, 15.

[46] Μτ. 7, 14. Πρβλ. Λκ. 13, 24.

www.tezaurliturgic.ro

### Ἦχος α΄.

*Τῶν ἀρετῶν τὴν τρίβον* δι᾽ ἀσκητικῆς πολιτείας βαδίσας* εἰς τὴν ἐνδεχομένην τελειότητα ἔφθασας,* ὅσιε Εὐθύμιε·* ὅλον γὰρ τὸν νοῦν* τῷ θείῳ φόβῳ καθηλώσας* τῶν γεηρῶν μὲν ἀπεῖπας τὸν πόθον* πρὸς ἐφετῶν δὲ τὸ ἀκρότατον* ὁλικῶς ἠτένισας·* καὶ ἐν σαρκὶ ἄγγελος ὀφθεὶς* ἰσαγγέλου τιμῆς ἠξίωσαι* ἀπαύστως πρεσβεύων* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

### Ἦχος β΄.

*Τῶν ἐν κόσμῳ τύρβεων* ὁλοσχερῶς μακρυνόμενος* ἐν Ὀλύμπῳ καὶ Ἄθῳ* ἐπὶ πλεῖον διέλαμψας* τοῖς ὁσίοις σκάμμασι,* θεοφόρε Εὐθύμιε·* τῷ Χριστῷ γὰρ ἑπόμενος*[47] οὐκ ἔδωκας ὕπνον τοῖς ὀφθαλμοῖς* οὐδ᾽ ἀνάπαυσιν* κατὰ Δαβὶδ* τοῖς κροτάφοις* ἕως οὗ σκήνωμα σεαυτὸν* τῆς παναγίας Τριάδος ἐτέλεσας·* ἐγκρατείᾳ γὰρ συντόνῳ* καὶ ἀεννάῳ προσευχῇ* καὶ παννύχοις στάσεσι* καθαρώτατον ὄργανον* τῆς θεϊκῆς ἐνεργείας ὤφθης·* ἐξ ἧς ῥανίδα καὶ ἡμῖν μετάδος* τοῖς ἑορτάζουσι τὴν μνήμην σου.*

### Ἦχος γ΄.

*Ἀσκητικοῖς ἀγῶσι* ὑπεριπτάμενος τῶν φθαρτῶν* τῶν ἀφθάρτων ἀγαθῶν ἐν προοιμίῳ ἐδέξω* τὰς χορηγίας, ὅσιε·* καὶ τῷ θείῳ φωτὶ ὁμιλῶν* ἐν θεολήπτῳ νοΐ* θεοφόρος ὤφθης* καὶ τοῦ Παρακλήτου ἔμψυχον ὄργανον,* παμμακάριστε Εὐθύμιε·* ὑφ᾽ οὗ ὁδηγούμενος* φροντιστήριον ψυχῶν ἐγείρεις* ὡς θεῖον ἱλαστήριον* Περιστερῶν ἐν χώρῳ* πλείστοις σκάμμασιν·* ἐν ᾧ ὑπὲρ ἥλιον λάμψας* ταῖς τῶν ἁγίων λαμπρότησιν ἐσκήνωσας* τῷ Σωτῆρι κράζων·* Κύριε, δόξα σοι.*

### Ἦχος δ΄.

*Τὴν ψυχικὴν ἄρουραν* ἀσκητικῶς γεηπονήσας*[48] τῆς ἀπαθείας τοὺς καρποὺς δαψιλῶς ἐξήνεγκας,* πάτερ θεοφόρε Εὐθύμιε·* καὶ δι᾽ αὐτῶν* τῶν μὲν πιστῶν τὰς διανοίας ῥυθμίζεις ἱερῶς* τῶν δὲ μοναστῶν τὰς χορείας παιδεύεις* τὰ ἄνω ποθεῖν καὶ ζητεῖν πρακτικῶς.* Ἀλλὰ πρέσβευε, ὅσιε,* τῷ Κυρίῳ δεόμεθα* σῴζεσθαι τοὺς σὲ μακαρίζοντας.*

---

[47] Ψ 131, 4.

[48] Πρβλ. Λκ. 8, 5.

www.tezaurliturgic.ro

### Δόξα. Ἦχος β'.

*Τὸν σταυρὸν τοῦ Σωτῆρος ἄρας*[49] *παντὶ τῷ κόσμῳ ἐσταύρωσαι* καὶ ἐν σοὶ ὁ κόσμος νενέκρωται,*[50] *θεοφόρε Εὐθύμιε·* τὴν ἐν Χριστῷ γὰρ ζωὴν* βιοτεύσας ἐν σαρκὶ* ὑπερκοσμίων δωρεῶν σκεῦος γέγονας* τὰς μελλούσας ἀμοιβὰς ἐν σοὶ τυπούμενος·* ὁ γὰρ Κύριος τῆς δόξης* λαμπρῶς σε ἐδόξασεν* ὁ ὑπὸ σοῦ δοξασθείς.* Αὐτὸν ἱκέτευε* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.*

### Καὶ νῦν. Θεοτοκίον.

### Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.

### Ἦχος πλ. α'. *Χαίροις ἀσκητικῶν.*

*Χαίροις τῆς ἐν ἀσκήσει ζωῆς* θεῖον ὑπόδειγμα, Εὐθύμιε ὅσιε·* Χριστῷ γὰρ ἀκολουθήσας* ἐν ὁλοτρόπῳ σπουδῇ* κοσμικῶν φροντίδων ἀπεμάκρυνας* καὶ σκεῦος πολύτιμον**[51] *ἐγκρατείας καὶ χάριτος* θείας ἐδείχθης* τὴν ψυχὴν καὶ τὸ σῶμά σου* ὡς ἐκάθηρας* παθημάτων τοῦ χείρονος·* ὅθεν τοῦ ὑπὲρ ἔννοιαν* φωτὸς ὤφθης ἔμπλεως* καὶ μοναζόντων ἀλείπτης* πρὸς ἀρετὴν ἐχρημάτισας* Χριστὸν ἱκετεύων* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.*

*Χαίροις Περιστερῶν τῆς μονῆς* θεῖος δομήτωρ καὶ λαμπρὰ ὑποτύπωσις·* αὐτὴν γὰρ οἰκοδομήσας* τῇ ἐπινεύσει Θεοῦ* τοῦ Χριστοῦ τῷ μύστῃ καθιέρωσας* Ἀνδρέᾳ τῷ μάκαρι,* θεοφόρε Εὐθύμιε,* καὶ μοναζόντων* οἰκητήριον ἔδειξας* καὶ ἀσκήσεως* ἱερᾶς γυμναστήριον.* Ὅθεν σε μακαρίζομεν* ὡς θεῖον θεράποντα* καὶ ἀσκητῶν ποδηγέτην* καὶ ὑποφήτην θεόληπτον* Χριστὸν δυσωποῦντα* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.*

*Χαίροις ὁ θεοφόρος ἀνὴρ* τῶν ἀρετῶν τὸ ἱερὸν ἐνδιαίτημα·* τὸ πρῶτον γὰρ ἐν Ὀλύμπῳ* τῆς Βιθυνίας στερρῶς* τῶν ἀγώνων ἦρξω τὸ γυμνάσιον* καὶ εἶτα ἐν Ἄθωνι* καὶ πολλοῖς ἄλλοις μέρεσι* κατηγωνίσω* τὸν ἀρχέκακον δράκοντα* ὡς τὴν ἄνωθεν* ἐνδυσάμενος δύναμιν.* Ὅθεν ἐν στύλῳ, ὅσιε,* ὡς ἥλιος ἔλαμψας* Θεσσαλονίκῃ τῇ πόλει* καὶ τῇ ταφῇ τοῦ λειψάνου σου* αὐτῇ ἀεὶ νέμεις* ἱλασμὸν καὶ σωτηρίαν* καὶ θεῖον ἔλεος.*

---

[49] Μτ. 10, 38· 16, 24· Μκ. 8, 34· 10, 21· Λκ. 9, 23.

[50] *Γαλ.* 16, 14. Πρβλ. *Ρωμ.* 6, 6.

[51] *1 Θεσ.*4, 4· *2 Τιμ.* 2, 21. Πρβλ. *Ρωμ.* 9, 21.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. δ'.

*Ἀσκητικοῖς σου σκάμμασι· τοῖς ἀγγέλοις ἁμιλληθείς· τῶν ἀοράτων ἐχθρῶν καθεῖλες τὰς τάξεις,· θεοφόρε Εὐθύμιε·· τὴν γὰρ ἀσθένειαν τῆς φύσεως· ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ ὑπεριδών· τὸ τῆς ἀσκήσεως στάδιον·*[52] *ἀνδρείως τετέλεκας· καὶ τὸ βραβεῖον τῆς νίκης· ἐπαξίως ἐδέξω ἐκ χειρὸς τοῦ Παντάνακτος· τοῦ παρέχοντος διὰ σοῦ· ἡμῖν τὸ μέγα ἔλεος.*

Καὶ νῦν. Θεοτοκίον.

Νῦν ἀπολύεις, τὸ τρισάγιον καὶ τὸ ἀπολυτίκιον.

Ἦχος α'. *Τῆς ἐρήμου πολίτης.*

*Ἐν ἀσκήσει ἐκλάμψας, θεοφόρε Εὐθύμιε,· ὤφθης μοναζόντων ἀκρότης· καὶ ἀγγέλων ἐφάμιλλος· καὶ θείων χαρισμάτων μετασχών· πρὸς τρίβους ὁδηγεῖς τῶν ἀρετῶν· τοὺς τιμῶντας τοὺς ἀγῶνάς σου τοὺς σεπτοὺς· καὶ εὐλαβῶς βοῶντάς σοι·· δόξα τῷ δεδωκότι σοι ἰσχύν,· δόξα τῷ σὲ στεφανώσαντι,· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ· πᾶσιν ἰάματα.*

Θεοτοκίον καὶ ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, κάθισμα.

Ἦχος α'. *Τὸν τάφον σου, Σωτήρ.*

*Ὡς ἥλιος λαμπρὸς· ἐξ Ἑώας ἐκλάμψας· ἀκτῖσιν ἀρετῶν· τῶν πιστῶν τὰς καρδίας· λαμπρύνεις θείῳ Πνεύματι,· θεοφόρε Εὐθύμιε·· ὅθεν σήμερον· τὴν φωτοφόρον σου μνήμην· ἑορτάζοντες· ὑπὲρ ἡμῶν σε πρεσβεύειν· Χριστῷ ἱκετεύομεν.*

---

[52] *1 Κορ.* 9, 24.

www.tezaurliturgic.ro

**Θεοτοκίον.**

*Ὡς τέξασα σαρκὶ* τὸν Θεὸν τῶν ἁπάντων* καὶ μείνασα, ἁγνή,* ὡς πρὸ τόκου παρθένος* φθορᾶς ἁπάσης ῥῦσαί με* τοῦ δεινοῦ πολεμήτορος* καὶ καταύγασον* τῆς μετανοίας με φέγγει* ὡς ἄν, Δέσποινα,* τῆς ἁμαρτίας τὸ σκότος* ἐκφύγω ὁ δοῦλός σου.*

**Μετὰ τὴν β' στιχολογίαν, κάθισμα.**

**Ἦχος δ'. *Ταχὺ προκατάλαβε.***

*Τὴν σχέσιν κατέλιπες τῶν προσηκόντων, σοφέ,* καὶ χαίρων κατέλαβες* τὰς τοῦ Ὀλύμπου μονὰς* ἐνθέῳ φρονήματι·* ἄρας γὰρ τοῦ Σωτῆρος* τὸν ζυγὸν ἀνενδότως*[53] ξένος ὤφθης τοῦ κόσμου* τῇ στερρᾷ σου ἀσκήσει·* διὸ σε μακαρίζομεν,* Εὐθύμιε ὅσιε.*

**Θεοτοκίον.**

*Ταχεῖαν βοήθειαν καὶ προστασίαν θερμὴν* παρέχεις, Πανάχραντε,* τοῖς προσιοῦσι θερμῶς* ταῖς σαῖς ἀντιλήψεσιν·* ὅθεν, Θεογεννῆτορ,* εὐχαρίστῳ καρδίᾳ* κηρύττομεν εὐγνωμόνως* τὰς πολλάς δωρεάς σου* δι' ὧν ἀεὶ λυτρούμεθα* κινδύνων καὶ θλίψεων.*

**Μετὰ τὸν πολυέλαιον, κάθισμα.**

**Ἦχος πλ. δ'. *Τὴν σοφίαν καὶ Λόγον.***

*Τῆς σαρκός σου τὸ φρόνημα τὸ φθαρτὸν*[54] ὑποτάξας τῷ πνεύματι νουνεχῶς* δοχεῖον ὑπέρτιμον* ἐπιπνοίας τοῦ Πνεύματος* ὡς ἀληθῶς ἐδείχθης* καὶ ἔργων ἀσκήσεως* κανὼν καὶ ὑποφήτης* καὶ τύπος πανάριστος.* Ὅθεν τῷ Κυρίῳ* θεοφρόνως δουλεύσας* τῆς τούτου λαμπρότητος* καὶ χαρᾶς κατηξίωσαι,* θεοφόρε Εὐθύμιε.* Πρέσβευε Χριστῷ τῷ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς ἑορτάζουσι πόθῳ* τὴν ἁγίαν μνήμην σου.*

**Θεοτοκίον.**

*Τὸν Θεὸν καὶ Σωτῆρα καὶ Ποιητὴν* διὰ πλοῦτον ἀνείκαστον οἰκτιρμῶν* ἐν μήτρᾳ συνέλαβες* ἀπορρήτως, Πανάμωμε,* καὶ τέτοκας τῷ κόσμῳ* Θεόν τε καὶ*

---

[53] Μτ. 11, 29.

[54] *Ρωμ.* 8, 6.

www.tezaurliturgic.ro

*ἄνθρωπον* μηδόλως ὑποστάντα* τροπὴν ἢ ἀλλοίωσιν.**[55] *Ὅθεν, Θεοτόκε,* ὡς ἀρχὴν σωτηρίας* καὶ πύλην ὑμνοῦμέν σε* οἱ σωθέντες τῷ τόκῳ σου* καὶ πιστῶς ἐκβοῶμέν σοι.* Πρέσβευε τῷ σῷ υἱῷ καὶ Θεῷ* τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι* τοῖς προσκυνοῦσι, Παρθένε,* τὴν ἄφραστον δόξαν σου.*

**Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ προκείμενον.**
**Εὐαγγέλιον καὶ ὁ Ν'.**
**Δόξα.** *Ταῖς τοῦ σοῦ ὁσίου.*
**Καὶ νῦν.** *Ταῖς τῆς Θεοτόκου.*

**Ἰδιόμελον. Ἦχος πλ. β'.**
**Στίχ.** *Ἐλέησόν με ὁ Θεὸς* κατὰ τὸ μέγα ἔλεός σου.*

*Ὅσιε πάτερ* θεοφόρε Εὐθύμιε,* τῆς ἰσαγγέλου σου ζωῆς τοὺς καρποὺς* ὡς προσφορὰν ἁγίαν* προσενέγκας Θεῷ* ἤκουσας παρ' αὐτοῦ* τελέσας τὸν ἀγῶνα.**[56] *Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ,* εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.**[57] *Αὐτῆς καὶ ἡμεῖς μετασχοίημεν, Πάτερ,* ταῖς πρὸς αὐτὸν πρεσβείαις σου.*

**Ὁ ἱερεύς.** *Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*
**Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τοῦ ὁσίου φέρων τήνδε ἀκροστιχίδα.**

*Σὴν εὐθυμίαν δίδου μοι, πάτερ. Γερασίμου.*

**Ὠδὴ α'.** *Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

*Σόφισόν με, δέσποτα Χριστέ,* τῇ πανσθενεῖ σου σοφίᾳ καὶ χάριτι* ταῖς πρὸς σὲ δεήσεσι* τοῦ Εὐθυμίου τοῦ σὲ μεγαλύναντος* ὡς ἂν ἀνυμνήσω* τούτου τὰ θεῖα παλαίσματα.*

---

[55] Πρβλ. *Ἰακ.* 1, 17.

[56] *2 Τιμ.* 4, 7· Πρβλ. 1, 30· Ἑβρ. 12, 1.

[57] *Μτ.* 25, 21-23. Πρβλ. *Λκ.*19, 17.

www.tezaurliturgic.ro

*Ηὔγασαι φωτὶ τῷ νοητῷ* τὰ τῆς ψυχῆς σου, Εὐθύμιε, ὄμματα·* ὅθεν πάντα ἔλιπες* τὸν σκοτασμὸν τῆς κοσμικῆς ματαιότητος*[58] καὶ τῷ θείῳ πόθῳ* ὅλον τὸν νοῦν σου ἀνέτεινας.*

*Νόμῳ τοῦ Σωτῆρος πειθαρχῶν* τὸ γεηρὸν ἀπεμάκρυνας φρόνημα,* ὅσιε Εὐθύμιε,* καὶ οὐρανίου ζωῆς τὴν λαμπρότητα* ἐν τῇ σῇ καρδίᾳ* ἀσκητικῶς ἐθησαύρησας.*

**Θεοτοκίον.**

*Ἔτεκες Θεὸν ὑπερφυῶς* δίχα τροπῆς καὶ φυρμοῦ ὑπὲρ ἔννοιαν* καὶ παρθένος ἄφθορος* ὡς πρὸ τοῦ τόκου, Παρθένε, διέμεινας* καὶ πρὸς ἀφθαρσίαν* ἡμῶν τὸ γένος ἀνύψωσας.*

**Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.**

*Ὑψώσας τὸν νοῦν σου πρὸς Θεὸν* αὐτῷ κατηκολούθησας* ἅπαντα κόσμον ἀπαρνησάμενος*[59] καὶ πρὸς ἀγῶνας τοὺς τῆς ἀσκήσεως* ἀπεδύσω, ὅσιε,* ἐν οἷς καταβέβληκας* τὸν ἀόρατον ὄφιν, Εὐθύμιε.*

*Θερμότητι, πάτερ, τῆς ψυχῆς* τὸν Ὄλυμπον κατέλαβες* τῆς Βιθυνίας λιπὼν τὰ γήϊνα* καὶ πρὸς αἰώνια ὄρη ὕψωσας* ἅπασαν τὴν ἔφεσιν* ἐκζητῶν, Εὐθύμιε,* τοῦ Σωτῆρος τὸ κάλλος τὸ ἄχραντον.*

*Ὑπέσχες ζυγῷ τῷ τοῦ Χριστοῦ* τὸν σὸν αὐχένα, ὅσιε,* καὶ ὥσπερ φόρτον καὶ ἀχθοφόρημα* πάντα τὰ πάθη ψυχῆς καὶ σώματος* νουνεχῶς ἀπέρριψας* καὶ πρὸς ὕψος ἔδραμες* ἀπαθείας, θεόφρον Εὐθύμιε.*

**Θεοτοκίον.**

*Μαρία κυρία τοῦ παντός,* δεινῶς κυριευθέντα με* ὑπὸ παθῶν τε ψυχῆς καὶ σώματος* τῆς δυναστείας τούτων με λύτρωσαι* καὶ ἰσχύν μοι δώρησαι* τοῦ πατεῖν τοῦ δράκοντος*[60] τὴν ὀφρῦν καὶ τὸ μάταιον φρύαγμα.*

**Κάθισμα.**

---

[58] Ρωμ. 8, 20· 4, 17. Πρβλ. *2 Πέ.*2, 18.

[59] Πρβλ. Μτ. 16, 24· Μκ. 8, 34· Λκ. 9, 23.

[60] Πρβλ. Λκ. 10, 19.

www.tezaurliturgic.ro

### Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τῶν ἀγγέλων τὸν βίον, πάτερ, μιμούμενος· ἀσκητικῶς ἠγωνίσω ἐν τῇ δυνάμει Χριστοῦ· καὶ ἐπλήσθης φωτισμοῦ τοῦ ὑπὲρ ἔννοιαν· δι' οὗ πυρσεύεις μοναστῶν· τὰς καρδίας μυστικῶς,· Εὐθύμιε θεοφόρε·· ἀλλὰ μὴ παύσῃ πρεσβεύων· ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

### Θεοτοκίον.

Τὸν Θεὸν ἀπορρήτως κυοφορήσασα· τῶν ἀνθρώπων τὴν φύσιν πεσοῦσαν ὕψωσας· καὶ ἐθέωσας αὐτὴν τῷ θείῳ τόκῳ σου,· παρθενομῆτορ Μαριάμ,· τῶν ἀγγέλων χαρμονὴ· καὶ κόσμου ἡ σωτηρία·· διό σε ὑμνολογοῦμεν· οἱ σεσωσμένοι τῇ κυήσει σου.

### Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

Ἴθυνας τὸν βίον σου· πρὸς πόνους ἀσκήσεως· καὶ ἐπελάβου νουνεχῶς· τῶν παλαισμάτων τῶν σεπτῶν,· Εὐθύμιε ὅσιε,· δι' ἐγκρατείας καὶ πάσης στενώσεως· ἀποκαθαίρων ψυχῆς τὴν κατάστασιν.

Ἄθω τὸν περίβλεπτον· σπουδαίως κατέλαβες· καὶ ἠγωνίσω ἐν αὐτῷ· ὥσπερ ἀσώματος, σοφέ,· νηστείαις καὶ δάκρυσι· καὶ ταῖς λοιπαῖς τῶν καλῶν ἐπιδόσεσιν· ὡς μιμητὴς τῶν ἀγγέλων, Εὐθύμιε.

Νάμασι τῆς χάριτος,· σοφέ, ἀρδευόμενος· ἀθανασίας τοὺς καρποὺς· καθάπερ φοῖνιξ εὐθαλὴς· πλουσίως ἐξήνεγκας· καὶ διατρέφεις ἡμῶν τὴν διάνοιαν· τῶν σὲ τιμώντων, Εὐθύμιε ὅσιε.

### Θεοτοκίον.

Δύναμιν παράσχου μοι· καὶ σθένος οὐράνιον· καταπατεῖν τοῦ πονηροῦ· τὰς πολυτρόπους μηχανὰς· δι' ὧν ἐπεμβαίνειν μοι· ἀποπυρᾶται δοῶραι ὁ δόλιος,· θεογεννῆτορ Παρθένε πανάμωμε.

### Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἱλαρὸς μὲν ἐν λόγῳ τοῖς δὲ τρόποις θεόληπτος· ἐνδεικνύμενος χορείαν φοιτητῶν σου ὡδήγησας· ἀσφαλῶς, Εὐθύμιε σοφέ,· πρὸς τρίβον σωτηρίας· ὡς ἀρετῆς τύπος ἄριστος.

www.tezaurliturgic.ro

*Διαλάμπων ταῖς ἀκτῖσι τῶν ὁσίων σου πράξεων· ἐν στύλῳ, πάτερ, ἔβης οὐρανίῳ φρονήματι· καὶ τῇ ἰσαγγέλῳ σου ζωῇ· τὴν Θεσσαλονικέων· καταπυρσεύεις μητρόπολιν.*

*Οὐρανόθεν ὡς ἐδέξω χρησμὸν θεῖον, Εὐθύμιε,· πρωτοκλήτῳ ἀποστόλῳ μονὴν θείαν ἀνήγειρας· οἷα φροντιστήριον ψυχῶν· Περιστερῶν τῷ τόπῳ· καθάπερ σκεῦος τοῦ Πνεύματος.*

**Θεοτοκίον.**

*Ὑπερύμνητε Παρθένε, ἡ Θεὸν σωματώσασα· σώματός μου τὰς ὀδύνας καὶ τὰ πάθη θεράπευσον· καὶ ἐν τῇ καρδίᾳ μου, ἁγνή,· ἐμφύτευσον τὸν φόβον· τοῦ σοῦ υἱοῦ τὸν σωτήριον.*

**Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.**

*Μεγάλοις διαπρέπων κατορθώμασιν,· Εὐθύμιε μακάριε,· ὑποφήτης ἐναρέτου ἀγωγῆς· ἐν τῇ σῇ μονῇ, πάτερ, γενόμενος· παιδαγωγεῖς· σοὺς φοιτητὰς ζηλοῦν τὰ κρείττονα.*

*Ὁ βίος σου ὡς ἥλιος ἀνέλαμψεν· ἐν τοῖς Βραστάμοις, ὅσιε·· ἐν αὐτοῖς γὰρ ἐσκήνωσας, σοφέ,· ἔργοις τῆς ὁσίας πολιτείας σου· φωταγωγεῖς· τῶν εὐσεβούντων ἅπαν τὸ σύστημα.*

*Ἰλύος τῶν παθῶν τὸν νοῦν ἐκάθηρας· τῶν πόνων ἐπιδόσεσι· καὶ ἐδέξω τὰς τοῦ Πνεύματος αὐγάς· οἱάπερ δοχεῖον καθαρώτατον· πᾶσιν ἡμῖν· παρέχων χάριν, πάτερ, σωτήριον.*

**Θεοτοκίον.**

*Παθῶν μου τὸ κλυδώνιον κατεύνασον· τῇ σῇ γαλήνῃ, Πάναγνε,· καὶ πρὸς ὅρμον σωτηρίας ἀληθοῦς·[61] ἴθυνόν με, Κόρη, τῇ σῇ χάριτι· ἵνα ὑμνῶ· σὲ ὡς προστάτιν καὶ κυβερνῆτίν μου.*

**Κοντάκιον.**

**Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

*Τῆς ἐναρέτου σου ζωῆς τὰ κατορθώματα*

---

[61] Πρβλ. Ἐφ. 4, 14.

www.tezaurliturgic.ro

ὥσπερ ἀκτῖνες φαειναὶ πᾶσιν ἐκλάμπουσι
καὶ πρὸς φῶς καθοδηγοῦσι τῆς σωτηρίας.
Ἀλλ' ὡς μέτοχος τῆς θείας ἐπιλάμψεως
τὴν ὁμίχλην τῶν παθῶν θᾶττον διάλυσον
τῶν βοώντων σοι· χαίροις, πάτερ Εὐθύμιε.

Ἄγγελος ἐν ἀσκήσει* ἀληθῶς ἀνεδείχθης,* Εὐθύμιε θεράπον Κυρίου·* καὶ ἀγγελικαῖς σου δωρεαῖς* καταφαιδρύνεις ἡμῶν τὴν διάνοιαν·* διὸ σου τὴν λαμπρότητα* ἀγάμενοι πιστῶς βοῶμεν·

χαῖρε τὸ ἄνθος τῆς Γαλατίας
χαῖρε τὸ σκεῦος τῆς ἐγκρατείας
χαῖρε τῶν ἁγίων ἀγγέλων συνόμιλε
χαῖρε εὐθυμίας τῆς θείας φερώνυμε
χαῖρε ἄστρον φαεινότατον τῆς ἀσκητικῆς ζωῆς
χαῖρε δένδρον τὸ κατάκαρπον χάριτος πνευματικῆς
χαῖρε ὅτι ὁσίως διανύεις τὸν βίον
χαῖρε ὅτι ἐκπλύνεις τῆς καρδίας τὸν ῥύπον
χαῖρε λαμπτὴρ ὁσίας ἀσκήσεως
χαῖρε ἀκτὶς ἁγίας φρονήσεως
χαῖρε Χριστοῦ θεοφόρος θεράπων
χαῖρε φωτὸς οὐρανίου θεάμων·
χαίροις, πάτερ Εὐθύμιε.

**Συναξάριον.**

**Ὠδὴ ζ'. Σὲ νοητήν.**

*Ἄνω τὸν νοῦν* πρὸς Χριστὸν τὸν Κύριον* ἔχων, Εὐθύμιε σοφέ,* ἐπὶ στύλου ὡς φαεινὸς* λύχνος, πάτερ, ἔλαμψας* καὶ φωτὶ τῶν ἔργων σου* Θεσσαλονίκην ἐλάμπρυνας* τὸν αἰνετὸν τῶν πατέρων* Θεὸν πιστῶς δοξάζουσαν.*

*Τῶν μοναστῶν* τύποις καὶ διδάγμασι* τὴν σὴν μονὴν πεπλουτηκὼς* ὡς ἀλείπτης πρὸς ἀρετήν,* ὅσιε Εὐθύμιε,* ἐπαξίως εἴληφας* τῶν σῶν καμάτων τὰ ἔπαθλα* τὸν αἰνετὸν μεγαλύνων* Θεὸν καὶ ὑπερένδοξον.*

www.tezaurliturgic.ro

Ἐν ἀσκηταῖς* ἔλαμψας, Εὐθύμιε,* τῇ ἰσαγγέλῳ σου ζωῇ* καὶ θαυμάτων τὴν δωρεὰν* ἄνωθεν δεξάμενος* πλείστους εὐηργέτησας* τῇ δεδομένῃ σοι χάριτι* τὸν αἰνετὸν μεγαλύνων* Θεὸν καὶ ὑπερένδοξον.

**Θεοτοκίον.**

Ῥῦσαι ἡμᾶς* ταῖς σαῖς ἀντιλήψεσι* τῆς τυραννίδος τοῦ ἐχθροῦ,* Θεοτόκε μῆτερ Θεοῦ,* καὶ τὸ πῦρ κατάσβεσον* δρόσῳ τοῦ ἐλέους σου* τὸ τῶν παθῶν ἡμῶν, ἄχραντε,* ὅπως ἀπαύστως ὑμνῶμεν* τὴν σὴν μεγαλειότητα.

**Ὠδὴ η'. Ἐν καμίνῳ.**

Γῆν πραέων ᾤκησας, σοφέ,*[62] πρᾶος γεγενημένος* καὶ πάθη ἀπονεκρώσας* ἐγκρατείας τῇ σπουδῇ* κραυγάζων, Εὐθύμιε·* εὐλογεῖτε πάντα τὰ ἔργα* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ἐν Ὀλύμπῳ, πάτερ, νοητῶς* καὶ Ἄθωνι διαλάμπεις* ἀλλὰ καὶ Θεσσαλονίκῃ* τοὺς σοὺς πόνους τοὺς πολλοὺς* κηρύττει κραυγάζουσα·* εὐλογεῖτε πάντα τὰ ἔργα* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

Ῥήμασί σου, πάτερ, ἱεροῖς* πειθόμενοι ὁσίως* ὡς παῖδες οἱ φοιτηταί σου* ἠγωνίζοντο καλῶς* σὺν σοὶ ἀνακράζοντες·* εὐλογεῖτε πάντα τὰ ἔργα* τὸν Κύριον ὑμνεῖτε* καὶ ὑπερυψοῦτε* εἰς πάντας τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Ἀνωτέρα ὤφθης ἀληθῶς,* Παρθένε Θεοτόκε,* ἀγγέλων καὶ ἀρχαγγέλων* ὡς τὸν τούτων ποιητὴν* ἀφράστως κυήσασα·* διὸ ἱκετεύω σε, Κόρη,* ἀνώτερόν με δεῖξον* τῶν τοῦ παλαμναίου* κακίστων βουλευμάτων.

**Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.**

Σῶμα τὸ σεπτόν σου, ὅσιε,* μετὰ τὴν σὴν μετάστασιν εἰς οὐράνια* οἱ σοὶ φοιτηταὶ* εὐσχημόνως συστείλαντες* μετὰ μύρων καὶ ὕμνων κατέθεντο* ἐν τῇ Θεσσαλονίκῃ* ἀνευφημοῦντες σε, Εὐθύμιε.

---

[62] Πρβλ. Ι Πέ. 3, 4.

www.tezaurliturgic.ro

*Ἴσχυνας ἑλεῖν τοῦ δράκοντος* ἐν ἀσθενείᾳ φύσεως θείῳ Πνεύματι*[63] πᾶσαν μηχανήν* καὶ οὐρανόθεν ἀπείληφας* τὸ βραβεῖον τῆς νίκης, Εὐθύμιε,* παρὰ τοῦ ἀθλοθέτου* δοξολογῶν αὐτοῦ τὴν δύναμιν.*

*Μέγας ἐν ἀσκήσει γέγονας* τῇ ταπεινώσει, πάτερ, καλλωπιζόμενος* καὶ ἀγγελικοῖς* ἤδη συνήφθης στρατεύμασιν* ὡς καλῶς τὸν ἀγῶνα ἐτέλεσας* μεθ' ὧν ἀεὶ δυσώπει* ὑπὲρ ἡμῶν Χριστόν, Εὐθύμιε.*

*Ὅλῳ τῷ φωτὶ λαμπόμενος* τῆς τρισαυγοῦς ἐλλάμψεως, πάτερ ὅσιε,* λύτρωσαι ἡμᾶς* ταῖς φωτοφόροις πρεσβείαις σου* παθημάτων ἀχλύος, Εὐθύμιε,* καὶ δέξαι μου τὸν ὕμνον* καθάπερ δῶρον εὐπρόσδεκτον.*

**Θεοτοκίον.**

*Ὕψος τῆς ἀφράστου δόξης σου* τίς ἐξειπεῖν δυνήσεται, Κόρη πάναγνε,* σὺ γὰρ ἐν σαρκὶ* ὑπερφυῶς κόσμῳ τέτοκας* τὸν πανύψιστον Λόγον καὶ Κύριον·* διὸ κἀμέ, Παρθένε,* ἀπὸ παθῶν κοπρίας ὕψωσον.*

**Ἐξαποστειλάριον. *Τοῖς μαθηταῖς συνέλθωμεν.***

*Τοῖς σοῖς ἀγῶσιν, ὅσιε,* τὴν ψυχὴν καὶ τὸ σῶμα* τῆς τῶν παθῶν συγχύσεως* ἐκκαθάρας ἐπλήσθης* τῆς θεϊκῆς ἐπιπνοίας* καὶ φωστὴρ μοναζόντων* καὶ ἐναρέτων πράξεων* ὑποφήτης ἐδείχθης καὶ ὁδηγὸς* ὁδηγῶν, Εὐθύμιε θεοφόρε,* πρὸς ἀρετῶν τελείωσιν* τοὺς πιστῶς προσιόντας.*

**Θεοτοκίον.**

*Τὸν ποιητὴν τῆς κτίσεως* καὶ Θεὸν καὶ δεσπότην* σωματικῶς κυήσασα,* Θεοτόκε Παρθένε,* φθορᾶς ἐρρύσω τὸν κόσμον* τῷ ἀφθόρῳ σου τόκῳ·* διὸ κἀμὲ ἀπάλλαξον* λογισμῶν ἀκαθάρτων φθοροποιῶν* καὶ τῷ θείῳ φόβῳ τείχισον, Κόρη,* τὸν νοῦν μου ὡς ἄν, Δέσποινα,* ζωῆς κρείττονος τύχω.*[64]

**Εἰς τοὺς αἴνους.**

**Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς προσόμοια.**

---

[63] Πρβλ. *Ἰω.* 5, 5· 12, 9.

[64] Πρβλ. *Ἑβρ.* 7, 19· *Ἑφ.* 11, 40.

www.tezaurliturgic.ro

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

*Τῶν οὐρανίων τὸν πόθον, πάτερ, δεξάμενος* τὰ ἐν τῷ κόσμῳ πάντα* ἀπεστράφης ἡδέα* καὶ ἄρας τὸν σταυρόν σου ἀσκητικῶς*[65] τῷ Χριστῷ ἠκολούθησας·* ὃν ἐκδυσώπει, Εὐθύμιε, ἐκτενῶς* τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.*

*Καὶ ἐν Ὀλύμπῳ ἐκλάμπεις καὶ ἐν τῷ Ἄθωνι* καὶ ἐν Θεσσαλονίκῃ* τῇ ὁσίᾳ ζωῇ σου* καὶ πάντας καταυγάζεις θείῳ φωτὶ* τῶν καμάτων σου, ὅσιε.* Ἀλλὰ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν* τῷ Χριστῷ, πάτερ Εὐθύμιε.*

*Ἐξ' οὐρανοῦ δεδεγμένος θείαν ὀμφὴν ἀληθῶς* Περιστερῶν τῷ τόπῳ* θείᾳ νεύσει ἐγείρεις* μονὴν τῷ πρωτοκλήτῳ τῶν μαθητῶν,* θεοφόρε Εὐθύμιε,* καὶ γυμναστήριον ταύτην ἀσκητικῆς* πολιτείας, πάτερ, ἔδειξας.*

*Τὸν σὸν ἀγῶνα τελέσας, πάτερ Εὐθύμιε,* τῆς οὐρανίου δόξης* κληρονόμος ἐδείχθης·* καὶ νῦν τῶν ὑπὲρ λόγον θεωριῶν* ἀπολαύων μνημόνευε* τῶν ἐκτελούντων τὴν μνήμην σου τὴν σεπτὴν* καὶ ὑμνούντων τοὺς ἀγῶνάς σου.*

**Δόξα. Ἦχος πλ. α΄.**

*Ὅσιε πάτερ,* τῆς ἀρετῆς ἐργάτης γενόμενος* ὡς ξένος καὶ πάροικος*[66] ἐν γῇ ἐπολιτεύσω* ἀσκητικοῖς καμάτοις·* τὰ γὰρ ἄνω ποθῶν καὶ ζητῶν* οὐδόλως ἐνάρκησας* ἐν τοῖς τῆς ἐγκρατείας πόνοις* ἀλλ' ἀνδρείῳ φρονήματι* τοῖς πρόσω ἐπεκτεινόμενος* τὸ βραβεῖον κατείληφας τῆς ἄνω κλήσεως* τῆς σῆς ἐφέσεως εὑρὼν τὴν πλήρωσιν·* καὶ νῦν ἀγγέλοις συνών,* θεοφόρε Εὐθύμιε,* σὺν αὐτοῖς ἱκέτευε* ὑπὲρ τῶν τιμώντων σε.*

**Καὶ νῦν. Θεοτοκίον.**

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

---

[65] Μτ. 10, 38· 16, 24· Μκ. 8, 34· 10, 21· Λκ. 9, 23.

[66] Γέν 23, 4· Ψ 118, 19· 38, 12.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ συνήθη. Ἀπόστολον καὶ εὐαγγέλιον τοῦ ἁγίου Σάββα.**
**Κοινωνικόν, *Εἰς μνημόσυνον αἰώνιον.***

**Μεγαλυνάριον.**

*Ἄσκησιν ὁσίαν διαδραμών· ὡς λύχνος ἐκλάμπεις· ἀρετῶν σου πᾶσι τὸ φῶς,· Εὐθύμιε πάτερ,· ἀγγέλων συμπολῖτα· καὶ πάντων τῶν ὁσίων· θεῖον ἀγλάϊσμα.*

---

**Δίστιχον.**

*Χάριν, ὦ Εὐθύμιε, δίδου μοι θείαν*
*Γερασίμῳ πλέξαντι τούσδε σοι ὕμνους.*